II. Ultima Jesu (XI-XVI). — 1° (b). *Jesus hostes arguit (XI, 12-XII).*

πιστεύετε ὅτι λαμβάνετε, καὶ ἔσται ὑμῖν.
25 Καὶ ὅταν στήκητε προσευχόμενοι, ἀφίετε
εἴ τι ἔχετε κατά τινος, ἵνα καὶ ὁ πατὴρ ὑμῶν
ὁ ἐν τοῖς οὐρανοῖς ἀφῇ ὑμῖν τὰ παραπτώματα
ὑμῶν. 26 Εἰ δὲ ὑμεῖς οὐκ ἀφίετε, οὐδὲ ὁ
πατὴρ ὑμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀφήσει τὰ
παραπτώματα ὑμῶν.
27 Καὶ ἔρχονται πάλιν εἰς Ἱεροσόλυμα.
Καὶ ἐν τῷ ἱερῷ περιπατοῦντος αὐτοῦ, ἔρ-
χονται πρὸς αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ γραμ-
ματεῖς καὶ οἱ πρεσβύτεροι, 28 καὶ λέγουσιν
αὐτῷ· Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς, καὶ
τίς σοι τὴν ἐξουσίαν ταύτην ἔδωκεν, ἵνα
ταῦτα ποιῇς; 29 Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς
εἶπεν αὐτοῖς· Ἐπερωτήσω ὑμᾶς κἀγὼ ἕνα
λόγον, καὶ ἀποκρίθητέ μοι, καὶ ἐρῶ ὑμῖν,
ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιῶ. 30 Τὸ βά-
πτισμα Ἰωάννου ἐξ οὐρανοῦ ἦν, ἢ ἐξ ἀν-
θρώπων; ἀποκρίθητέ μοι. 31 Καὶ ἐλογί-
ζοντο πρὸς ἑαυτοὺς, λέγοντες· Ἐὰν εἴπωμεν·
Ἐξ οὐρανοῦ, ἐρεῖ· Διατί οὖν οὐκ ἐπιστεύ-
σατε αὐτῷ; 32 ἀλλ' ἐὰν εἴπωμεν· Ἐξ ἀνθρώ-
πων· ἐφοβοῦντο τὸν λαόν· ἅπαντες γὰρ εἶχον
τὸν Ἰωάννην, ὅτι ὄντως προφήτης ἦν.
33 Καὶ ἀποκριθέντες λέγουσι τῷ Ἰησοῦ·
Οὐκ οἴδαμεν. Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς
λέγει αὐτοῖς· Οὐδὲ ἐγὼ λέγω ὑμῖν, ἐν ποίᾳ
ἐξουσίᾳ ταῦτα ποιῶ.
XII. Καὶ ἤρξατο αὐτοῖς ἐν παραβολαῖς λέ-
γειν· Ἀμπελῶνα ἐφύτευσεν ἄνθρωπος, καὶ
περιέθηκε φραγμόν, καὶ ὤρυξεν ὑπολήνιον,
καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν
γεωργοῖς, καὶ ἀπεδήμησε. 2 Καὶ ἀπέστειλε
πρὸς τοὺς γεωργοὺς τῷ καιρῷ δοῦλον, ἵνα
παρὰ τῶν γεωργῶν λάβῃ ἀπὸ τοῦ καρποῦ
τοῦ ἀμπελῶνος. 3 Οἱ δὲ λαβόντες αὐτὸν
ἔδειραν καὶ ἀπέστειλαν κενόν. 4 Καὶ πάλιν
ἀπέστειλε πρὸς αὐτοὺς ἄλλον δοῦλον· κἀκεῖ-
νον λιθοβολήσαντες ἐκεφαλαίωσαν καὶ ἀπέ-
στειλαν ἠτιμωμένον. 5 Καὶ πάλιν ἄλλον
ἀπέστειλε· κἀκεῖνον ἀπέκτειναν, καὶ πολ-
λοὺς ἄλλους, τοὺς μὲν δέροντες, τοὺς δὲ
ἀποκτέινοντες.

dite quia accipiétis, et evénient vobis.
25 Et cum stábitis ad orándum, dimittite si quid habétis advérsus áliquem : ut et Pater vester qui in cœlis est, dimittat vobis peccáta vestra. 26 Quod si vos non dimiséritis : nec Pater vester, qui in cœlis est, dimíttet vobis peccáta vestra.
27 Et véniunt rursus Jerosólymam. Et cum ambuláret in templo, accédunt ad eum summi sacerdótes, et scribæ, et senióres : 28 et dicunt ei : In qua potestáte hæc facis? et quis dedit tibi hanc potestátem ut ista fácias? 29 Jesus autem respóndens, ait illis : Interrogábo vos et ego unum verbum, et respondéte mihi : et dicam vobis in qua potestáte hæc fáciam. 30 Baptísmus Joánnis, de cœlo erat, an ex homínibus? Respondéte mihi. 31 At illi cogitábant secum dicéntes : Si dixérimus, De cœlo, dicet : Quare ergo non credidístis ei? 32 Si dixérimus, Ex homínibus, timémus pópulum : omnes enim habébant Joánnem quia vere prophéta esset. 33 Et respondéntes dicunt Jesu : Nescímus. Et respóndens Jesus, ait illis : Neque ego dico vobis in qua potestáte hæc fáciam.
XII. [1] Et cœpit illis in parábolis loqui: Víneam pastinávit homo, et circúmdedit sepem, et fodit lacum, et ædificávit turrim, et locávit eam agrícolis, et péregre profectus est. 2 Et misit ad agrícolas in témpore servum, ut ab agrícolis accíperet de fructu víneæ. 3 Qui apprehénsum eum cecidérunt, et dimisérunt vácuum. 4 Et iterum misit ad illos álium servum : et illum in cápite vulneravérunt, et contuméliis affecérunt. 5 Et rursum álium misit, et illum occidérunt : et plures álios: quosdam cædéntes, álios vero occidéntes.

26. ℵBTX* (ACDELX†). 28. ℵBT: Πεῖον et : ἥ τίς. 29. BCT* ἀποκριθ. et κἀγώ. 30. ℵABCDLTΘ + τό (a. Ἰω.). 31. LT: διελογ. (* ἀν). KSLTΘ* ἐαν (LT: ἀλλά. KLΘ: ἀνθρ.ι). D: φοβθ μεν. 33. [L] ℵBCT* ἀποκριθεὶς. — 1. ℵBLT: λαλεῖν. 2. ℵBCT: τῶν καρπῶν. D: ἵνα ἀπὸ τοῦ καρποῦ τοῦ ἀμπελ. δώσουσιν αὐτῷ. 3. ℵBDT: Καὶ λαβόντες. D† (in f.) πρὸς αὐτόν. 4. LT²: κἀκ. ἐκεφαλ. κ. ἠτίμησον. 5. G[K]LT[H]* πάλ. LT: οὓς (bis) et : ἀποκτέιν.

XII. 4. *Et ils le blessèrent à la tête.* Grec : « et lapidant encore celui-ci, ils le blessèrent à la tête ».

II. Derniers Jours (XI-XVI). — 1° (b). *Jésus confond ses ennemis (XI, 12-XII).*

croyez que vous l'obtiendrez, et il vous arrivera.
25 » Et quand vous serez pour prier, pardonnez, si vous avez quelque chose contre quelqu'un, afin que votre Père, qui est dans les cieux, vous pardonne aussi vos péchés. 26 Car si vous ne pardonnez point vous-mêmes, votre Père qui est dans les cieux ne vous pardonnera point non plus vos péchés ».
27 Ils vinrent de nouveau à Jérusalem; et comme il se promenait dans le temple, les princes des prêtres, les scribes et les anciens s'approchèrent de lui, 28 et lui dirent : « Par quelle autorité faites-vous ces choses, et qui vous a donné ce pouvoir de les faire? »
29 Jésus, répondant, leur dit : « Je vous ferai, moi aussi, une demande; répondez-moi, et je vous dirai par quelle autorité je fais ces choses. 30 Le baptême de Jean était-il du ciel ou des hommes? Répondez-moi ». 31 Mais eux pensaient en eux-mêmes, disant : « Si nous répondons : Du ciel, il dira : Pourquoi donc n'y avez-vous pas cru? 32 Si nous répondons : Des hommes, nous avons à craindre le peuple »; car tous croyaient que Jean était vraiment prophète. 33 Répondant donc, ils dirent à Jésus : « Nous ne savons ». Et répliquant, Jésus leur dit : « Ni moi non plus, je ne vous dis par quelle autorité je fais ces choses ».
XII. [1] Et il commença à leur parler en paraboles : « Un homme planta une vigne; il l'entoura d'une haie, creusa un pressoir, y bâtit une tour, il la loua ensuite à des vignerons, et partit pour un voyage. 2 Or, en la saison, il envoya aux vignerons un serviteur pour recevoir d'eux du fruit de la vigne. 3 Mais s'étant saisis de lui, ils le déchirèrent de coups, et le renvoyèrent les mains vides. 4 Il leur envoya de nouveau un autre serviteur, et ils le blessèrent à la tête, et l'accablèrent d'outrages. 5 Il en envoya encore un autre, et ils le tuèrent; ensuite plusieurs autres, dont ils déchirèrent les uns de coups et tuèrent les autres.

Ante precem dimittendum. Mat. 6, 14; 5, 23. 1 Tim. 2, 8. Luc. 11, 4. Mat. 5, 23-24. Eccli. 21, 3. Luc. 6, 37-38. Mat. 18, 32-33.
Unde baptismus Joannis. Mat. 21, 23-27. Luc. 20, 1-8. Is. 29, 13. 2 Tim. 3, 13. Jos. 2, 18; 10, 36, 13, 20. Is. 51, 1. Luc. 19, 22. Prov. 26, 5. Job. 35, 3; 9, 5. Jos. 3, 31-32. Ps. 35, 5; 84, 12. Jos. 1, 33. Is. 28, 13. Jos. 1, 27. Mat. 11, 13; 14, 5. Luc. 1, 76. Mat. 21, 27. Luc. 20, 8. 3 Reg. 22, 22. 1 Reg. 28, 17. Marc. 3, 22. Mat. 12, 38. Luc. 11, 29.
Vinitores occisis servis. Luc. 20, 9, 19. Mat. 21, 33. Is. 5, 1. Ps. 79, 9. Jer. 2, 21; 14, 8. Mich. 6, 4. Prov. 31, 31. Ps. 105, 16. Is. 5, 2; 49, 4. Prov. 24, 30-31. Mat. 21, 36. Luc. 20, 11. Act. 7, 52. 3 Reg. 12, 16. Is. 8, 6. Ps. 68, 13. Luc. 20, 12. Jer. 7, 25. Hebr. 11, 37. Mat. 23, 37.

27-33. Par quelle autorité? Comparer avec *Matthieu*, XXI, 23-27.
27. *Dans le temple;* c'est-à-dire dans le parvis du temple. Voir la note sur *Jean*, X, 23.

XII. 1-12. Les fermiers de la vigne. Comparer avec *Matthieu*, XXI, 33-46; *Luc*, XX, 9-19.
1. *Un pressoir.* Voir la note et la figure de *Juges*, VI, 11.

5. *Ils déchirèrent.* Voir la note sur *Matthieu*, XXI, 35.

II. Ultima Jesu (XI-XVI). — 1° (b). Jesus hostes arguit (XI, 12-XII).

6 Ἔτι οὖν ἕνα υἱὸν ἔχων ἀγαπητὸν αὐτοῦ, ἀπέστειλε καὶ αὐτὸν πρὸς αὐτοὺς ἔσχατον, λέγων· Ὅτι ἐντραπήσονται τὸν υἱόν μου. 7 Ἐκεῖνοι δὲ οἱ γεωργοὶ εἶπον πρὸς ἑαυτούς· Ὅτι οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε, ἀποκτείνωμεν αὐτόν, καὶ ἡμῶν ἔσται ἡ κληρονομία. 8 Καὶ λαβόντες αὐτὸν ἀπέκτειναν καὶ ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος.

9 Τί οὖν ποιήσει ὁ κύριος τοῦ ἀμπελῶνος; Ἐλεύσεται καὶ ἀπολέσει τοὺς γεωργούς, καὶ δώσει τὸν ἀμπελῶνα ἄλλοις. 10 Οὐδὲ τὴν γραφὴν ταύτην ἀνέγνωτε; Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· 11 παρὰ κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν;

12 Καὶ ἐζήτουν αὐτὸν κρατῆσαι, καὶ ἐφοβήθησαν τὸν ὄχλον· ἔγνωσαν γάρ, ὅτι πρὸς αὐτοὺς τὴν παραβολὴν εἶπε. Καὶ ἀφέντες αὐτὸν ἀπῆλθον.

13 Καὶ ἀποστέλλουσι πρὸς αὐτόν τινας τῶν Φαρισαίων καὶ τῶν Ἡρωδιανῶν, ἵνα αὐτὸν ἀγρεύσωσι λόγῳ. 14 Οἱ δὲ ἐλθόντες λέγουσιν αὐτῷ· Διδάσκαλε, οἴδαμεν ὅτι ἀληθὴς εἶ καὶ οὐ μέλει σοι περὶ οὐδενός· οὐ γὰρ βλέπεις εἰς πρόσωπον ἀνθρώπων, ἀλλ' ἐπ' ἀληθείας τὴν ὁδὸν τοῦ θεοῦ διδάσκεις· Ἔξεστι κῆνσον Καίσαρι δοῦναι, ἢ οὔ; δῶμεν, ἢ μὴ δῶμεν; 15 Ὁ δὲ εἰδὼς αὐτῶν τὴν ὑπόκρισιν εἶπεν αὐτοῖς· Τί με πειράζετε; φέρετέ μοι δηνάριον, ἵνα ἴδω. 16 Οἱ δὲ ἤνεγκαν. Καὶ λέγει αὐτοῖς· Τίνος ἡ εἰκὼν αὕτη καὶ ἡ ἐπιγραφή; Οἱ δὲ εἶπον αὐτῷ· Καίσαρος. 17 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς· Ἀπόδοτε τὰ Καίσαρος Καίσαρι, καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ. Καὶ ἐθαύμασαν ἐπ' αὐτῷ.

18 Καὶ ἔρχονται Σαδδουκαῖοι πρὸς αὐτόν, οἵτινες λέγουσιν ἀνάστασιν μὴ εἶναι, καὶ ἐπηρώτησαν αὐτὸν λέγοντες· 19 Διδάσκαλε, Μωϋσῆς ἔγραψεν ἡμῖν, ὅτι ἐάν τινος ἀδελφὸς ἀποθάνῃ καὶ καταλίπῃ γυναῖκα καὶ τέκνα μὴ ἄφῃ, ἵνα λάβῃ ὁ ἀδελφὸς αὐτοῦ τὴν γυναῖκα αὐτοῦ καὶ ἐξαναστήσῃ

6. ℵB[L]* ὢν et καὶ. T: Ἔτι ἓ. εἶχεν υἱὸν ἀγ. ἀπέστ. αὐτὸν ἔσχ. 7. ℵBCT: πρὸς ἑαυτοὺς εἶπαν. 8. ℵBCT: Καὶ λ. ἀπ. αὐτόν. ℵABCDLTΘ: ἐξέβ. αὐτόν. 9. BT* οὖν. 11. D* παρὰ κυρ. ἐγ. αὕτη. 14. ℵBCDT²: (l. οἱ δὲ) Καὶ. CDL¹ (a. ἔξεστι) εἰπὲ οὖν ἡμῖν. 16. [L]* (alt.) οἱ δὲ. LT: εἶπαν. 17. LT: Ὁ δὲ Ἰ. εἶπ. T: Τὰ Κ. ἀπόδ. Κ.

6 Adhuc ergo unum habens filium charissimum : et illum misit ad eos novissimum, dicens : Quia reverebúntur filium meum. 7 Colóni autem dixérunt ad ínvicem : Hic est heres : veníte, occidámus eum : et nostra erit heréditas. 8 Et apprehendéntes eum, occidérunt : et ejecérunt extra vínea m.

9 Quid ergo fáciet dóminus vineæ? Véniet, et perdet colónos : et dabit vineam áliis. 10 Nec scriptúram hanc legistis : Lápidem quem reprobavérunt ædificántes, hic factus est in caput ánguli : 11 a Domino factum est istud, et est mirábile in óculis nostris?

12 Et quærébant eum tenére : et timuérunt turbam : cognovérunt enim quóniam ad eos parábolam hanc díxerit. Et relícto eo abiérunt.

13 Et mittunt ad eum quosdam ex pharisæis, et herodiánis, ut eum cáperent in verbo. 14 Qui veniéntes dicunt ei : Magíster, scimus quia verax es, et non curas quemquam : nec enim vides in fáciem hóminum, sed in veritáte viam Dei doces : licet dari tribútum Cæsari, an non dábimus? 15 Qui sciens versútiam illórum, ait illis : Quid me tentátis? afférte mihi denárium ut vídeam. 16 At illi attulérunt ei. Et ait illis : Cujus est imágo hæc, et inscriptio? Dicunt ei : Cæsaris. 17 Respóndens autem Jesus dixit illis : Réddite igitur quæ sunt Cæsaris, Cæsari : et quæ sunt Dei, Deo. Et mirabántur super eo.

18 Et venérunt ad eum sadducæi, qui dicunt resurrectiónem non esse : et interrogábant eum, dicéntes : 19 Magíster, Móyses nobis scripsit : ut si cujus frater mórtuus fúerit, et dimíserit uxórem, et filios non reliquerit, accípiat frater ejus uxórem ipsius, et resúscitet semen fratri

LT: ἐθαύμαζον et (18) : ἐπηρώτων. 19. ℵBCT: μὴ ἄφῃ τέκνον. ℵBCT* (sec.) αὐτοῦ.

14. *Est-il permis de payer le tribut à César, ou ne le payerons-nous point?* Grec : « est-il permis de donner le cens à César ou non ? le donnerons-nous ou ne le donnerons-nous pas ? »
15. *Leur malice.* Grec littéralement : « leur hypocrisie ».

II. Derniers jours (XI-XVI). — 1° (b). Jésus confond ses ennemis (XI, 12-XII).

6 » Enfin, ayant un fils unique qui lui était très cher, il le leur envoya le dernier, disant : Ils respecteront mon fils. 7 Mais les vignerons se dirent l'un à l'autre : Celui-ci est l'héritier ; venez, tuons-le, et nôtre sera l'héritage. 8 Ainsi, l'ayant pris, ils le tuèrent et le jetèrent hors de la vigne.

et Filium occident. Marc. 1, 11. Gen. 22, 2. Mat. 21, 37-41; 3, 17; 10, 24. Hebr. 2, 16. Jos. 1, 14; 11, 36. Jer. 11, 9. Prov. 1, 13-14. Act. 3, 14-15. Hebr. 10, 28-29; 6, 6. Jos. 8, 48; 19, 17.

9 » Que fera donc le maître de la vigne? Il viendra, exterminera les vignerons, et donnera la vigne à d'autres. 10 N'avez-vous point lu cette parole de l'Écriture : La pierre qu'ont rejetée ceux qui bâtissaient est devenue un sommet d'angle ; 11 c'est le Seigneur qui a fait cela, et c'est admirable à nos yeux? »

Lapis reprobatus. Is. 3, 14. Mat. 21, 41, 31. Luc. 20, 17. Mat. 21, 42. Ps. 117, 22. Is. 128, 16. Act. 4, 11. Rom. 9, 33. 1 Pet. 2, 7. Rom. 3, 30. Ps. 118, 129.

12 Dès lors ils cherchaient à se saisir de lui ; mais ils craignaient le peuple ; ils reconnurent, en effet, que c'était à eux qu'il avait appliqué cette parable. Ainsi le laissant, ils s'en allèrent.

Ira scribarum. Luc. 20, 19. Mat. 26, 45; 13, 11. Ps. 34, 12. Luc. 23, 2. Marc. 4, 11. Act. 13, 16.

13 Mais ils envoyèrent vers lui quelques-uns des pharisiens et des hérodiens, pour le surprendre dans ses paroles ; 14 lesquels étant venus, lui dirent : « Maître, nous savons que vous êtes vrai, et que vous n'avez égard à qui que ce soit ; car vous ne considérez point la face des hommes, mais vous enseignez la voie de Dieu dans la vérité : Est-il permis de payer le tribut à César, ou ne le payerons-nous point? » 15 Jésus, connaissant leur malice, leur dit : « Pourquoi me tentez-vous? Apportez-moi un denier, que je le voie ». 16 Et ils le lui apportèrent ; et il leur demanda : « De qui est cette image et cette inscription? » « De César », lui dirent-ils. 17 Alors reprenant, Jésus leur dit : « Rendez donc à César ce qui est à César, et à Dieu ce qui est à Dieu ». Et ils étaient en admiration de lui.

Tributum Cæsaris. Luc. 20, 20. Mat. 12, 15; 7, 15. Luc. 14, 1. Jos. 8, 46. Deut. 16, 17; 32, 4. Mat. 22, 16. Jac. 2, 1. Act. 18, 26; 10, 34-35. Ps. 93, 11; 77, 41. Mat. 22, 18-19. Mat. 22, 20. Luc. 20, 25. Rom. 13, 7. Mat. 22, 22; 15, 26-29. Luc. 2, 47.

18 Alors vinrent à lui les sadducéens, qui disent qu'il n'y a point de résurrection, et ils l'interrogeaient, disant : 19 « Maître, Moïse a écrit pour nous : Si le frère de quelqu'un meurt, et quitte ainsi sa femme sans laisser d'enfants, que son frère épouse sa femme, et suscite des enfants à son

Septem fratrum uxor. Mat. 22, 23-32. Luc. 20, 27-38. Act. 23, 8. Deut. 25, 5. Ps. 101, 9. Gen. 38, 8, 11.

10. *La pierre qu'ont rejetée.* Allusion au *Psaume*, CXVII, 22-23. — *Un sommet d'angle.* Voir la note sur *Matthieu*, XXI, 42.

13-17. Les hérodiens et l'impôt. Comparer avec *Matthieu*, XXII, 15-22; *Luc*, XX, 20-26.
13. *Des hérodiens.* Voir la note sur *Matthieu*, XXII, 16.

14. *La face des hommes.* Voir la note sur *Matthieu*, XXII, 16.

16. *César* était alors l'empereur Tibère. Voir *Luc*, III, 1.

18-27. Les sadducéens et la résurrection. Comparer avec *Matthieu*, XXII, 23-33; *Luc*, XX, 27-40.
18. *Les sadducéens.* Voir la note 7 à la fin du volume.

II. Ultima Jesu (XI-XVI). — 1° (b). *Jesus hostes arguit (XI, 12-XII).*

σπέρμα τῷ ἀδελφῷ αὐτοῦ. [20] Ἕπτὰ οὖν
ἀδελφοὶ ἦσαν· καὶ ὁ πρῶτος ἔλαβε γυναῖκα,
καὶ ἀποθνήσκων οὐκ ἀφῆκε σπέρμα, [21] καὶ
ὁ δεύτερος ἔλαβεν αὐτὴν καὶ ἀπέθανε, καὶ
οὐδὲ αὐτὸς ἀφῆκε σπέρμα, καὶ ὁ τρίτος ὡσ-
αύτως, [22] καὶ ἔλαβον αὐτὴν οἱ ἑπτὰ καὶ
οὐκ ἀφῆκαν σπέρμα· ἐσχάτη πάντων ἀπέ-
θανε καὶ ἡ γυνή. [23] Ἐν τῇ οὖν ἀναστάσει
ὅταν ἀναστῶσι, τίνος αὐτῶν ἔσται γυνή; οἱ
γὰρ ἑπτὰ ἔσχον αὐτὴν γυναῖκα.

[24] Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς·
Οὐ διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰς
γραφὰς μηδὲ τὴν δύναμιν τοῦ θεοῦ; [25] Ὅταν
γὰρ ἐκ νεκρῶν ἀναστῶσιν, οὔτε γαμοῦσιν
οὔτε γαμίσκονται, ἀλλ' εἰσὶν ὡς ἄγγελοι οἱ
ἐν τοῖς οὐρανοῖς. [26] Περὶ δὲ τῶν νεκρῶν, ὅτι
ἐγείρονται, οὐκ ἀνέγνωτε ἐν τῇ βίβλῳ Μωϋ-
σέως ἐπὶ τῆς βάτου, ὡς εἶπεν αὐτῷ ὁ θεὸς
λέγων· Ἐγὼ ὁ θεὸς Ἀβραὰμ καὶ ὁ θεὸς
Ἰσαὰκ καὶ ὁ θεὸς Ἰακώβ; [27] Οὐκ ἔστιν ὁ
θεὸς νεκρῶν, ἀλλὰ θεὸς ζώντων· ὑμεῖς οὖν
πολὺ πλανᾶσθε.

[28] Καὶ προσελθὼν εἷς τῶν γραμματέων,
ἀκούσας αὐτῶν συζητούντων, εἰδὼς ὅτι κα-
λῶς αὐτοῖς ἀπεκρίθη, ἐπηρώτησεν αὐτόν·
Ποία ἐστὶ πρώτη πασῶν ἐντολή; [29] Ὁ δὲ
Ἰησοῦς ἀπεκρίθη αὐτῷ· Ὅτι πρώτη πασῶν
τῶν ἐντολῶν· Ἄκουε Ἰσραήλ, κύριος ὁ θεὸς
ἡμῶν κύριος εἷς ἐστί· [30] καὶ ἀγαπήσεις κύ-
ριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου,
καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἐξ ὅλης τῆς
διανοίας σου, καὶ ἐξ ὅλης τῆς ἰσχύος σου.
Αὕτη πρώτη ἐντολή. [31] Καὶ δευτέρα
ὁμοία, αὕτη· Ἀγαπήσεις τὸν πλησίον σου
ὡς σεαυτόν. Μείζων τούτων ἄλλη ἐντολὴ
οὐκ ἔστι.

[32] Καὶ εἶπεν αὐτῷ ὁ γραμματεύς· Κα-
λῶς, διδάσκαλε, ἐπ' ἀληθείας εἶπας, ὅτι
εἷς ἐστὶ θεὸς καὶ οὐκ ἔστιν ἄλλος πλὴν
αὐτοῦ, [33] καὶ τὸ ἀγαπᾶν αὐτὸν ἐξ ὅλης τῆς
καρδίας καὶ ἐξ ὅλης τῆς συνέσεως καὶ ἐξ
ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς ἰσχύος, καὶ

suo. [20] Septem ergo fratres erant: et primus accépit uxórem, et mórtuus est non relícto sémine. [21] Et secúndus accépit eam, et mórtuus est: et nec iste relíquit semen. Et tértius similiter. [22] Et accepérunt eam similiter septem: et non reliquérunt semen. Novíssima ómnium defúncta est et múlier. [23] In resurrectióne ergo cum resurréxerint, cujus de his erit uxor? septem enim habuérunt eam uxórem.

[24] Et respóndens Jesus, ait illis: Nonne ídeo errátis, non sciéntes Scriptúras, neque virtútem Dei? [25] Cum enim a mórtuis resurréxerint, neque nubent, neque nubéntur, sed sunt sicut ángeli in cœlis. [26] De mórtuis autem quod resúrgant, non legístis in libro Móysi, super rubum quómodo díxerit illi Deus, inquiens: Ego sum Deus Abraham, et Deus Isaac, et Deus Jacob? [27] Non est Deus mortuórum, sed vivórum. Vos ergo multum errátis.

[28] Et accéssit unus de scribis qui audíerat illos conquiréntes, et videns quóniam bene illis respónderit, interrogávit eum quod esset primum ómnium mandátum. [29] Jesus autem respóndit ei: Quia primum ómnium mandátum est: Audi Israel, Dóminus Deus tuus, Deus unus est: [30] et díliges Dóminum Deum tuum ex toto corde tuo, et ex tota ánima tua, et ex tota mente tua, et ex tota virtúte tua. Hoc est primum mandátum. [31] Secúndum autem símile est illi: Díliges próximum tuum tanquam teípsum. Majus horum áliud mandátum non est.

[32] Et ait illi scriba: Bene, magíster, in veritáte dixísti, quia unus est Deus, et non est álius præter eum. [33] Et ut diligátur ex toto corde, et ex toto intelléctu, et ex tota ánima, et ex tota fortitúdine: et

20. G rell.* ἐν. 21s. D* ὁ τρίτ. εἰ καὶ. T|L[2]* ἔλαβον αὐτ. (G: κ. ὡσαύτ. κ. οἱ ἑ. ἐκ ἀφ.). LT: ἔσχατον. 23. T* ἐν. |L|T* ὅτ. ἀνασт. ΝBCT: Ἔφη αὐτ. ὁ Ἰ. 25. LT: γαμίζονται. ΝCDT [2*] οἱ. 26. ΝABCT: βάτ. T: πῶς. 26. LT[1*] (duo ult.) ὁ. 27. LT[1*] ὁ. G rell. [KH]* (alt.) θεός. ΝBCT* ὑμ. ἐν. 28. CDLT: ἰδὼν ὅτι. ΝBCT: πάντων (D*). 29. ΝBT: Ἀπεκρ. ὁ Ἰησ. D: ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς εἶπεν αὐτῷ. ΝBT: (l. πασ. τῶν ἐντ.) ἐστίν (ACG: πρώτη πάντων ἐντολή). L: [ἐντολὴ ἐστιν]. 30. D* κ. ἐξ ὅλ. τ. διαν. σου. ΝBE T* αὕτη πρ. ἐντ. 31. ΝBT|L|* (in.) Καὶ εἰ ὁμοία. X: αὐτῇ. 32. G rell.* θεός. 33. [L|T* κ. ἐξ ὅλ. τ. ψ. T*: περισσότερόν ἐστιν.

26. *En tant qu'ils ressuscitent.* Grec : « qu'ils ressuscitent, *c'est-à-dire* comme preuve de la résurrection ».
29. *Le Seigneur ton Dieu est le seul Dieu.* Grec : « le Seigneur notre Dieu est le Seigneur un ».
31. *Le second est semblable à celui-là.* Grec : « et le second (qui est) semblable (est) celui-ci ».

II. Derniers jours (XI-XVI). — 1° (b). *Jésus confond ses ennemis (XI, 12-XII).*

frère. [20] Or il y avait sept frères : le premier prit une femme, et mourut sans laisser d'enfants. [21] Le second la prit ensuite et mourut, et ne laissa point non plus d'enfants, et le troisième pareillement. [22] Et ils l'ont ainsi épousée tous les sept, et ils n'ont point laissé de postérité. Enfin après eux tous est morte aussi la femme. [23] A la résurrection donc, lorsqu'ils ressusciteront, duquel d'entre eux sera-t-elle femme? Car tous les sept l'ont eue pour femme ».

Gen. 39, 28.

1 Cor. 15, 23.

[24] Et Jésus répondant, leur dit : « N'êtes-vous point pour cela même dans l'erreur, ne comprenant ni les Écritures ni la puissance de Dieu? [25] Car, lorsqu'ils ressusciteront d'entre les morts, les hommes ne prendront point de femmes ni les femmes de maris, mais ils sont comme des anges dans le ciel. [26] Et quant aux morts, en tant qu'ils ressuscitent, n'avez-vous point lu dans le livre de Moïse, à l'endroit du buisson, comment Dieu lui parla, disant : Je suis le Dieu d'Abraham, le Dieu d'Isaac et le Dieu de Jacob? [27] Il n'est pas le Dieu des morts, mais des vivants. Vous donc, vous errez beaucoup ».

Quid post resurrectionem.
Is. 5, 13; 29, 11-12.
Rom. 1, 21.
2 Cor. 3, 15.
Mat. 22, 29.
Rom. 4, 17.
Sap. 2, 21, 22.
Luc. 20, 34-36.

Job, 19, 25-26.
Is. 26, 19.
Ez. 37, 12.
Dan. 12, 2.
Ex. 3, 2, 6.
Mat. 22, 32.
Ps. 3, 5-6.
Hebr. 11, 16.

Sap. 4, 1.
Mat. 15, 14.

[28] Alors s'approcha un des scribes, qui avait entendu les sadducéens l'interroger, et voyant qu'il leur avait si bien répondu, il lui demanda quel était le premier de tous les commandements. [29] Jésus lui répondit : « Le premier de tous les commandements est : Écoute, Israël, le Seigneur ton Dieu est le seul Dieu; [30] tu aimeras le Seigneur ton Dieu de tout ton cœur, de toute ton âme, de tout ton esprit et de toute ta force. Voilà le premier commandement. [31] Le second est semblable à celui-là : Tu aimeras ton prochain comme toi-même. Aucun autre commandement n'est plus grand que ceux-là ».

De maximo mandato.
Luc. 20, 39; 10, 25.
Marc. 5, 11.
Mat. 22, 35-39.
Jos. 3, 10.
Is. 33, 18-19.

Deut. 6, 4, 5.
Is. 44, 8, 7.
1 Cor. 8, 5-6.

Hebr. 11, 15.
Ex. 3, 6, 15.
Prov. 23, 26.
Rom. 7, 22.
Is. 49, 15.
Ps. 58, 10.
Cant. 8, 7.

Mat. 22, 39.
Lev. 19, 18.
Jos. 13, 34.
Rom. 13, 9.
Gal. 5, 14.
Jac. 2, 8.
1 Jos. 4, 20.
Jos. 13, 35.

[32] Et le scribe lui dit : « Fort bien, maître, vous avez dit en toute vérité qu'il n'y a qu'un seul Dieu, et il n'y en a point d'autre que lui; [33] qu'on doit l'aimer de tout son cœur, de toute son intelligence, de toute son âme et

Quod ils majus non est.
Deut. 4, 35.
Is. 45, 6.
1 Reg. 15, 22.
Ps. 39, 7.
Os. 6, 6.
Mat. 9, 13; 22, 16.
Deut. 10, 12.

23. *Duquel d'entre eux sera-t-elle femme?* Voir la note sur *Matthieu*, XXII, 28.

26. *A l'endroit du buisson;* c'est-à-dire à l'endroit de son livre où il parle du buisson ardent, dans *Exode*, III, 1 et suiv. C'est le titre que les Juifs, dans leur division du Pentateuque pour la lecture des synagogues, donnent à la section de l'Exode où se lit l'histoire du buisson ardent.

28-34. Le grand commandement. Comparer avec *Matthieu*, XXII, 34-40.

29. *Écoute, Israël.* Citation de *Deutéronome*, VI, 4. Ces paroles sont les premières de la profession de foi des Israélites, appelée *schema'*, parce qu'elle commence par ce mot.

31. *Tu aimeras ton prochain.* Citation de *Lévitique*, XIX, 18; tirée, comme la précédente, des Septante.

τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτόν, πλεῖόν ἐστι πάντων τῶν ὁλοκαυτωμάτων καὶ τῶν θυσιῶν. 34 Καὶ ὁ Ἰησοῦς, ἰδὼν αὐτὸν ὅτι νουνεχῶς ἀπεκρίθη, εἶπεν αὐτῷ· Οὐ μακρὰν εἶ ἀπὸ τῆς βασιλείας τοῦ θεοῦ. Καὶ οὐδεὶς οὐκέτι ἐτόλμα αὐτὸν ἐπερωτῆσαι.

35 Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς ἔλεγε, διδάσκων ἐν τῷ ἱερῷ· Πῶς λέγουσιν οἱ γραμματεῖς, ὅτι ὁ Χριστὸς υἱός ἐστι Δαβίδ; 36 Αὐτὸς γὰρ Δαβὶδ εἶπεν ἐν τῷ πνεύματι τῷ ἁγίῳ· Εἶπεν ὁ κύριος τῷ κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. 37 Αὐτὸς οὖν Δαβὶδ λέγει αὐτὸν κύριον, καὶ πόθεν υἱὸς αὐτοῦ ἐστί; Καὶ ὁ πολὺς ὄχλος ἤκουεν αὐτοῦ ἡδέως.

38 Καὶ ἔλεγεν αὐτοῖς ἐν τῇ διδαχῇ αὐτοῦ· Βλέπετε ἀπὸ τῶν γραμματέων, τῶν θελόντων ἐν στολαῖς περιπατεῖν, καὶ ἀσπασμοὺς ἐν ταῖς ἀγορᾶις, 39 καὶ πρωτοκαθεδρίας ἐν ταῖς συναγωγαῖς, καὶ πρωτοκλισίας ἐν τοῖς δείπνοις. 40 Οἱ κατεσθίοντες τὰς οἰκίας τῶν χηρῶν καὶ προφάσει μακρὰ προσευχόμενοι, οὗτοι λήψονται περισσότερον κρίμα.

41 Καὶ καθίσας ὁ Ἰησοῦς κατέναντι τοῦ γαζοφυλακίου, ἐθεώρει πῶς ὁ ὄχλος βάλλει χαλκὸν εἰς τὸ γαζοφυλάκιον. Καὶ πολλοὶ πλούσιοι ἔβαλλον πολλά. 42 Καὶ ἐλθοῦσα μία χήρα πτωχὴ ἔβαλε λεπτὰ δύο, ὅ ἐστι κοδράντης. 43 Καὶ προσκαλεσάμενος τοὺς μαθητὰς αὐτοῦ, λέγει αὐτοῖς· Ἀμὴν λέγω ὑμῖν, ὅτι ἡ χήρα αὕτη ἡ πτωχὴ πλεῖον πάντων βέβληκε τῶν βαλόντων εἰς τὸ γαζοφυλάκιον. 44 Πάντες γὰρ ἐκ τοῦ περισσεύοντος αὐτοῖς ἔβαλον· αὕτη δὲ ἐκ τῆς ὑστερήσεως αὐτῆς πάντα ὅσα εἶχεν ἔβαλεν, ὅλον τὸν βίον αὐτῆς.

XIII. Καὶ ἐκπορευομένου αὐτοῦ ἐκ τοῦ ἱεροῦ, λέγει αὐτῷ εἷς τῶν μαθητῶν αὐτοῦ· Διδάσκαλε, ἴδε, ποταποὶ λίθοι καὶ ποταπαὶ οἰκοδομαί. 2 Καὶ ὁ Ἰησοῦς ἀποκριθεὶς εἶπεν αὐτῷ· Βλέπεις ταύτας τὰς μεγάλας οἰκοδο-

diligere próximum tanquam seipsum, majus est ómnibus holocautomátibus, et sacrificiis. 34 Jesus autem videns quod sapiénter respondísset, dixit illi : Non es longe a regno Dei. Et nemo jam audébat eum interrogáre.

35 Et respóndens Jesus dicébat, docens in templo : Quómodo dicunt scribæ Christum fílium esse David? 36 Ipse enim David dicit in Spiritu sancto : Dixit Dóminus Dómino meo, Sede a dextris meis, donec ponam inimícos tuos scabéllum pedum tuórum. 37 Ipse ergo David dicit eum Dóminum, et unde est fílius ejus? Et multa turba eum libénter audívit.

38 Et dicébat eis in doctrína sua : Caváte a scribis, qui volunt in stolis ambuláre, et salutári in foro, 39 et in primis cáthedris sedére in synagógis, et primos discúbitus in cœnis, 40 qui dévorant domos viduárum sub obténtu prolixæ oratiónis : hi accípient prolíxius judícium.

41 Et sedens Jesus contra gazophylácium, aspiciébat quómodo turba jactáret æs in gazophylácium, et multi divites jactábant multa. 42 Cum venísset autem vidua una pauper, misit duo minúta, quod est quadrans, 43 et cónvocans discípulos suos, ait illis : Amen dico vobis, quóniam vídua hæc pauper plus ómnibus misit, qui misérunt in gazophylácium. 44 Omnes enim ex eo, quod abundábat illis, misérunt : hæc vero de penúria sua ómnia quæ hábuit misit totum victum suum.

XIII. 1 Et cum egrederétur de templo, ait illi unus ex discípulis suis : Magíster, áspice quales lápides, et quales structúræ. 2 Et respóndens Jesus, ait illi : Vides has omnes magnas ædificatiónes? Non

36. [L]T* γὰρ. GKS (* bis τῷ) : Λέγει. BT¹ (* δ') : κάθισον. T¹: ὑποκάτω. 37. [L]T* ὄν. 40. X: μακρᾶ. 41. NBT* ὁ Ἰησ. 42. N$^{\underline{1}}$ (p. μία) γυνή. 43. GKLTΘ: εἶπεν. LT: ἔβαλεν. — 1. T: εἷς ἐκ. 2. T* ἀποκρ. (eti. ℣. 5)-LT: ἀφ. ὧδε. T: λίθον.

40. *Sous le prétexte de longues prières.* Grec : « et prient longuement en apparence ».

de toute sa force; et qu'aimer le prochain comme soi-même est plus que tous les holocaustes et tous les sacrifices ». 34 Jésus voyant qu'il avait sagement répondu, lui dit : « Tu n'es pas loin du royaume de Dieu ». Et personne n'osait plus l'interroger.

Mat. 13, 6; 22, 46. Luc. 20, 40. Hebr. 7, 15. Jos. 16, 30. Act. 15, 10.

35 Mais prenant la parole, Jésus demandait en enseignant dans le temple : « Comment les scribes disent-ils que le Christ est fils de David? 36 Car David lui-même a dit par l'Esprit-Saint : Le Seigneur a dit à mon Seigneur : Asseyez-vous à ma droite, jusqu'à ce que j'aie fait de vos ennemis l'escabeau de vos pieds. 37 Ainsi David lui-même l'appelle son Seigneur; comment est-il son fils? » Et une grande foule l'écoutait avec plaisir.

Christus filius David.
Marc. 11, 27, 17. Luc. 20, 41. Mat. 22, 41. Rom. 16, 4. Jos. 18, 20.
Ps. 109, 1. 2 Pet. 1, 21. Luc. 1, 32. Col. 3, 1. Is. 45, 1-2.
Luc. 20, 44. Mat. 22, 45.

38 Il leur disait encore dans son enseignement : « Gardez-vous des scribes, qui se plaisent à se promener avec de longues robes, et à être salués dans les places publiques; 39 et à s'asseoir sur les premiers sièges dans les synagogues, et qui veulent les premières places dans les festins; 40 qui dévorent les maisons des veuves sous le prétexte de longues prières : ces hommes-là subiront un jugement plus sévère ».

Superbia scribarum.
Mat. 23, 6. Luc. 11, 43.
Mat. 23, 2. Ps. 106, 32. Luc. 19, 10.
Luc. 20, 47. Mat. 23, 14. Ps. 108, 7. Is. 3, 14, 15; 27, 8.

41 Après cela, étant assis vis-à-vis du tronc, Jésus regardait de quelle manière le peuple y jetait de l'argent; or nombre de riches y en jetaient beaucoup. 42 Et une pauvre veuve étant venue, elle y mit deux petites pièces valant le quart d'un as. 43 Appelant alors ses disciples, il leur dit : « En vérité, je vous le dis, cette pauvre veuve a déposé plus que tous ceux qui ont mis dans le tronc. 44 Car tous ont mis de ce qu'ils avaient de superflu; mais celle-ci a mis de son indigence même tout ce qu'elle avait, tout son vivre ».

Munuscula viduæ.
Ps. 23, 4. 2 Reg. 12, 9. Jos. 8, 20.
Tob. 4, 9.
Gen. 4, 4-5. 2 Cor. 8, 12.
Luc. 11, 41. Job, 31, 17. Luc. 12, 33. Ps. 49, 2.

XIII. 1 Lorsqu'il sortait du temple, un de ses disciples lui dit : « Maître, voyez quelles pierres et quels bâtiments ». 2 Et répondant, Jésus lui dit : « Tu vois toutes ces grandes constructions? Il n'y restera pas

c) Eversio templi futura.
Luc. 24, 5. Mat. 24, 1; 23, 38. Os. 7, 13. 2 Par. 2, 5.
2 Mach. 5, 20. Jer. 26, 18. Luc. 19, 44.

35-37. Le Christ, Fils et Seigneur. Comparer avec *Matthieu*, XXII, 41-46; *Luc*, XX, 41-44.

36. *L'escabeau de vos ieds.* Voir la note sur *Matthieu*, XXII, 44.

38-40. Sur les scribes et les pharisiens. Comparer avec *Matthieu*, XXIII, 1-39; *Luc*, XX, 45-47.

38. *De longues robes. Stolæ*, tuniques ou robes longues et flottantes. Sur la *stola*, voir la note sur *Luc*, XV, 22.

41-44. La veuve et ses deux deniers. Comparer avec *Luc*, XXI, 1-4.

41. *Tronc. Gazophylacium*, troncs au nombre de treize, appelés trompettes à cause de leur forme. Ils étaient destinés à recevoir les dons volontaires des Juifs et étaient placés dans la cour des femmes, devant les colonnes qui supportaient la galerie des femmes.

42. *Le quart d'un as.* Voir la note sur *Matthieu*, V, 26.

c) Discours prophétiques de Jésus, XIII.

XIII. 1-37. Prophétie sur Jérusalem. Comparer avec *Matthieu*, XXIV, 1-51; *Luc*, XXI, 5-36.

1. *Voyez quelles pierres et quels bâtiments.* Les constructions qui formaient l'ensemble du temple (ἱερόν) étaient magnifiques. « Les pierres [des fondations qui restent encore] sont de dimensions très grandes, dit M. de Vogüé. La longueur des blocs varie depuis sept mètres jusqu'à quatre-vingts centimètres; l'un d'eux a 12 mètres de long ».

II. Ultima Jesu (XI-XVI). — 1° (c). *Prophetica verba (XIII).*

μάς; οὐ μὴ ἀφεθῇ λίθος ἐπὶ λίθῳ, ὃς οὐ μὴ καταλυθῇ.

3 Καὶ καθημένου αὐτοῦ εἰς τὸ ὄρος τῶν ἐλαιῶν κατέναντι τοῦ ἱεροῦ, ἐπηρώτων αὐτὸν κατ' ἰδίαν Πέτρος καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ Ἀνδρέας· 4 Εἰπὲ ἡμῖν, πότε ταῦτα ἔσται, καὶ τί τὸ σημεῖον, ὅταν μέλλῃ πάντα ταῦτα συντελεῖσθαι;

5 Ὁ δὲ Ἰησοῦς ἀποκριθεὶς αὐτοῖς ἤρξατο λέγειν· Βλέπετε, μή τις ὑμᾶς πλανήσῃ. 6 Πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες· Ὅτι ἐγώ εἰμι, καὶ πολλοὺς πλανήσουσιν. 7 Ὅταν δὲ ἀκούσητε πολέμους καὶ ἀκοὰς πολέμων, μὴ θροεῖσθε· δεῖ γὰρ γενέσθαι, ἀλλ' οὔπω τὸ τέλος. 8 Ἐγερθήσεται γὰρ ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται σεισμοὶ κατὰ τόπους, καὶ ἔσονται λιμοὶ καὶ ταραχαί. 9 Ἀρχὰ ὠδίνων ταῦτα.

Βλέπετε δὲ ὑμεῖς ἑαυτούς· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια καὶ εἰς συναγωγάς, δαρήσεσθε καὶ ἐπὶ ἡγεμόνων καὶ βασιλέων σταθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς. 10 Καὶ εἰς πάντα τὰ ἔθνη δεῖ πρῶτον κηρυχθῆναι τὸ εὐαγγέλιον. 11 Ὅταν δὲ ἀγάγωσιν ὑμᾶς παραδιδόντες, μὴ προμεριμνᾶτε τί λαλήσητε, μηδὲ μελετᾶτε· ἀλλ' ὃν ἐὰν δοθῇ ὑμῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, τοῦτο λαλεῖτε· οὐ γάρ ἐστε ὑμεῖς οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον. 12 Παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέκνον· καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς. 13 Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται.

14 Ὅταν δὲ ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, τὸ ῥηθὲν ὑπὸ Δανιὴλ τοῦ προφήτου, ἑστὼς ὅπου οὐ δεῖ (ὁ ἀναγινώσκων νοείτω), τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη· 15 ὁ δὲ ἐπὶ τοῦ δώματος μὴ καταβάτω εἰς τὴν οἰκίαν, μηδὲ εἰςελθέτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ· 16 καὶ ὁ εἰς

relinquétur lapis super lápidem, qui non destruátur.

3 Et cum sedéret in monte Olivárum contra templum, interrogábant eum separátim Petrus, et Jacóbus, et Joánnes, et Andréas : 4 Dic nobis, quando ista fient? et quod signum erit, quando hæc ómnia incípient consummári?

5 Et respóndens Jesus cœpit dícere illis : Vidéte ne quis vos sedúcat : 6 multi enim vénient in nómine meo dicéntes, quia ego sum : et multos sedúcent. 7 Cum audiéritis autem bella, et opiniónes bellórum, ne timuéritis : opórtet enim hæc fíeri : sed nondum finis. 8 Exúrget enim gens contra gentem, et regnum super regnum, et erunt terræmótus per loca, et fames. Initium dolórum hæc.

9 Vidéte autem vosmetípsos. Tradent enim vos in conciliis, et in synagógis vapulábitis, et ante præsides et reges stábitis propter me, in testimónium illis. 10 Et in omnes gentes primum opórtet prædicári evangélium. 11 Et cum dúxerint vos tradéntes, nolíte præcogitáre quid loquámini : sed quod datum vobis fúerit in illa hora, id loquímini : non enim vos estis loquéntes, sed Spíritus sanctus. 12 Tradet autem frater fratrem in mortem, et pater fílium : et consúrgent fílii in paréntes, et morte afficient eos. 13 Et éritis ódio ómnibus propter nomen meum. Qui autem sustinúerit in finem, hic salvus erit.

14 Cum autem vidéritis abominatiónem desolatiónis stantem ubi non debet, qui legit, intélligat : tunc qui in Judæa sunt, fúgiant in montes : 15 et qui super tectum, ne descéndat in domum, nec intróeat ut tollat quid de domo sua : 16 et qui in agro

3. T: ἐπηρώτα. 4. ℵBLTΘ: Εἰπόν. 5. D: ἀπ. εἶπεν αὐτοῖς. 6. ℵBL T* γάρ. 8. ℵBT²: ἐπ'. ℵB T* (a. ἔθ. bis) καὶ et (c. L.) κ. ταρ. 9. SLT: Ἀρχή. T* γάρ. GKSLTH: εἰς συναγωγὰς δαρήσ. 10. ℵBT²: πρῶτον δεῖ. 11. ℵBDT: Καὶ ὅταν. ℵABT : ἄγωσιν. 14. [L]T* μηδὲ μελ. 12. ℵBDT: Καὶ παραδ. ἀδ. 14. ℵBDG [KL|T|HΘ]* τὸ ῥηθὲν-προφ. (AIX¹). T: ἑστός (L: ἑστηκός). 15. LT* δὲ. [L]T* εἰς τ. οἰκ. 16. LT* ὧν.

XIII. 8. *Et des famines.* Grec : « et des famines et des troubles ». La fin du verset est rattachée dans le grec au verset suivant.

9. *On vous traduira devant les tribunaux, vous serez battus dans les synagogues.* Grec : « on vous traduira devant les sanhédrins et les synagogues ; vous serez battus ».

14. *L'abomination de la désolation.* Le grec porte en plus : « prédite par le prophète Daniel ».

II. Derniers jours (XI-XVI). — 1° (c). *Discours prophétiques (XIII).*

pierre sur pierre, qui ne soit détruite ».

